περσικὸν ὄρνεον.] τὰ πολυτελῆ πάντα, οἷς μόνος βασιλεὺς ἐχρῆτο, ἐκαλεῖτο περσικά. καὶ νῦν οὐκ ἰδίως τὶς ὄρνις περσικός. τινὲς δὲ τὸν ἀλεκτρυόνα. οἱ δὲ τὸν ταῶ. Πρῶτα μὲν ὥρας.] παρὰ τὰ Ἡσιόδου. φράζεσθαι δ᾽ εὖτ᾽ ἂν γεράνου φωνὴν ἐπακούσαις ὑψόθεν ἐκ νεφέων ἐνιαύσια κεκληγυίης. ἥτ᾽ ἀρότοιό τε σῆμα φέρει καὶ χείματος ὥρην. Καὶ πηδάλιον τότε.] καὶ τοῦτο παρὰ τὸ Ἡσιόδειον, αὐτίκα πηA δάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο. καὶ πηδάλιον δὲ εὐεργὲς ὑπὲρ καπνοῦ κρεμάσασθαι. Εἶτα δ᾽ Ορέστῃ.] Ορέστης μανίαν ὑποκρινόμενος ἐν τῷ σκότει τοὺς ἀνθρώπους ἀπέδυεν. Ἰκτῖνος αὖ μετὰ ταῦτα.] ἐν τῇ Ἑλλάδι ἔαρος φαίνεται ἰκτῖνος, ὅτε κυρεύεται τὰ θρέμματα. τέκειν δὲ ποκάζειν.

Οτε χρὴ χλαῖναν πωλεῖν ἤδη, καὶ ληΐδάειόν τι πρίασθαι.
Εσμὲν δ᾽ ὑμῖν Αμμων. Δελφοί. Δωδώνη. Φοῖβος Απόλλων.
Ελθόντες γὰρ πρῶτον ἐπ᾽ ὄρνεις, οὕτω πρὸς ἅπαντα τρέπεσθε.
Πρός τ᾽ ἐμπορείαν καὶ πρὸς βιότου κτῆσιν, καὶ πρὸς γάμον ἀνδρὸς,
Ορνιν τε νομίζετε πάνθ᾽ ὅσαπερ περὶ μαντείας διακρίνει.
Φήμη γ᾽ ὑμῖν ὄρνις ἐστί. πταρμόν τ᾽ ὄρνιθα καλεῖτε.
Ξύμβολον, ὄρνιν. φωνὴν, ὄρνιν. θεράποντ᾽ ὄρνιν. ὄνον, ὄρνιν.
Αρ᾽ οὐ φανερῶς ἡμεῖς ὑμῖν ἐσμὲν μαντεῖος Απόλλων;
Ην οὖν ἡμᾶς νομίσητε θεοὺς
Εξέσται χρῆσθαι μάντεσι μούσαις.
Αὔραις. ὥραις. χειμῶνι. θέρει.
Μετρίῳ πνίγει. κοὐκ ἀποδράντες
Καθεδούμεθ᾽ ἄνω σεμνυνόμενοι,
Παρὰ ταῖς νεφέλαις ὥσπερ χ᾽ ὡ Ζεύς.
Αλλὰ παρόντες δώσομεν ὑμῖν
Αὐτοῖς, παισὶ, παίδων παισὶν,
Πλουθυγίειαν. εὐδαιμονίαν.
Βίον. εἰρήνην. νεότητα. γέλω-
Τα. χορούς. θαλίας. γάλα τ᾽ ὀρνίθων.
Ωστε παρέσται κοπιᾶν ὑμῖν
Υπὸ τῶν ἀγαθῶν,
Οὕτω πλουτήσετε πάντες.

B *Quando oportet chlænam vendere, iam æstiuam vestem aliquam emere.*
*Sumus autem vobis Ammon, Delphi, Dodona, Phœbus Apollo.*
*Venientes enim primùm in aues, sic ad omnia vertimini,*
*Adq; mercaturam, & ad victus possessionem, & ad nuptias viri,*
*Auemq; putate omnia quæcunque circa diuinationem diuidit.*
C *Fama vobis auis est, sternutationemq; auem vocate,*
*Symbolum auem, vocem auem, seruum auem, asinum auem.*
*An non manifestè nos vobis sumus vaticinator Apollo?*
*Si igitur nos putabitis Deos,*
*Poteritis vti vatibus, Musis,*
D *Auris, horis, hyeme, æstate,*
*Mensurato æstu: & non aufugientes,*
*Sedemus super gloriati*
*Apud nebulas, tanquam Iupiter.*
*Sed præsentes dabimus vobis*
*Ipsis, filijs, filiorum filijs,*
*Diuitem sanitatem, bonam fortunam,*
*Victum, pacem, iuuentutem, ri-*
*Sum, choros, conuiuia, lacq; auium.*
E *Quare aderit laborare vobis*
*A bonis,*
*Sic ditescetis omnes.*

Σχόλια. Ληΐδάειον.] θερίστριον ἢ εὐτελὲς ἱμάτιον θερινόν. σημειωτέον δὲ ὅτι ἐν συστολῇ τὸ πρίασθαι. Ελθόντες γὰρ πρῶτον.] μαντευσάμενοι γὰρ πρῶτον ἐκ τῶν ὀρνεομάντεων, οὕτως ἐπὶ τὰ ἔργα χωρεῖτε. ὄρνιν τε νομίζετε. πάντα γὰρ οἰωνοὺς καλοῦσι καὶ τὰ μὴ ὄρνεα. Ξύμβολον ὄρνιν.] ξύμβολον ὄρνιν φασὶν, ἐπεὶ συμβόλους ἐποίουν τοὺς πρῶτα ξυναντῶντας, καὶ ἐξ ἀπαντήσεώς τι προσημαίνοντας. ξυμβόλους δὲ καὶ τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. ἀνετίθεντο δὲ οὗτοι Δήμητρι, ὥς φησι Φιλόχορος. καὶ σύμβολον, οἰώνισμα, σημεῖον, μάντευμα. λέγεται καὶ ἀρσενικῶς ὁ σύμβολος. οὕτω παρὰ τῷ Σουίδᾳ γράφεται. F Θεράποντ᾽ ὄρνιν.] ἐπεὶ πολλάκις εἰώθαμεν τινας τῶν θεραπόντων καλόποδας λέγειν καὶ καλοιωνίστους. Ονον ὄρνιν.] λέγεται γάρ τι τοιοῦτον. ὡς συμβολικὸς ἐρωτώμενος περὶ ἀρρώστου, εἶδεν ὄνον ἐκ πτώματος ἀναστάντα, ἀκήκοε δὲ ἑτέρου λέγοντος. βλέπε πῶς ὄνος ὢν ἀνέστη. ὁ δὲ ἔφη ὁ νοσῶν ἀναστήσεται. G Ην οὖν.] ἔκθεσις τοῦ μακροῦ ἐκ κώλων ὁμοίων ἀναπαιστικῶν ιδ. ὧν τὰ μὲν ιβ δίμετρα ἀκατάληκτα. τὸ ιγ ἀναπαιστικὴ βάσις, ὃ καὶ παρατέλευτον ὀνομάζεται. τὸ τελευταῖον ἐφθημιμερὲς ὑφ᾽ ὃ παράγραφος. Μάντεσι.] μούσαις. ὥστε χρῆσθαι ἡμῖν καὶ εἰς μουσικὴν καὶ εἰς μαντείαν. πολλὰ γὰρ τῶν ὀρνέων μουσικά. Χειμῶνι.] ὅτι καὶ ἀνέμους καὶ καιροὺς προσημαίνουσιν. μετρίῳ δὲ πνίγει συμμέτρῳ καύματι. λέγει δὲ τὸ ἔαρ. Ωσπερ ὁ Ζεύς] νεφεληγερέτης γάρ. Παίδων παισίν.] ἔμιξε τὰ δύο. διὸ δὲ μάλιστα οἱ ἄνθρωποι χαίρουσι, καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι, ἐκ τούτου ἔκφασιν εὐδαιμονίας ἐμφαίνει. Γάλα τ᾽ ὀρνίθων.] τοῦτο καὶ ἐν Σφηξίν. ἐν παροιμίᾳ δὲ ἐπὶ τῶν λίαν εὐδαιμονούντων καὶ πάντα κεκτημένων. ἄλλως. τοῦτο τῶν σπανίων. τὰ σπάνια οὖν φησὶ καὶ δυσεύρετα τῶν ἀγαθῶν παρέξομεν. Κοπιᾶν.] ἐν πλησμονῇ γενόμενοι τῶν ἀγαθῶν ἀπειρηκέναι φήσετε.